Φαίνεται ὅτι ἔζη ἔτι περὶ τὸ ἔτος 1350. Ἐτελεύτησε δὲ ἐν Θεσσαλονίκῃ ἐν τῷ μοναστηρίῳ τοῦ Ἰσαάκ(β). Πλὴν τοῦ Συντάγματος κατὰ στοιχεῖον, ἐν ᾧ ἐλέγχει παρέργως τὰς λατινικὰς καινοτομίας, συνέγραψεν ἰδίᾳ κατὰ Λατίνων 1) Ἓν ἐκτεταμένον σύγγραμμα, ὅπερ σώζεται ἀνέκδοτον ἐν διαφόροις βιβλιοθήκαις τῇ ἐπιγραφῇ „Ἔλεγχοι τῆς πλάνης τῶν Λατίνων". Τρία κεφάλαια ἐκ τοῦ δευτέρου βιβλίου τοῦ πονήματος τούτου ἐξεδόθησαν ὑπὸ τοῦ Πατριάρχου τῶν Ἱεροσολύμων Δοσιθέου ἐν Τόμῳ Καταλλαγῆς σελ. 441—455. 2) Περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος. Ἐπέμφθη τῷ θείῳ τοῦ βασιλέως Σεργίντελεν (sic) Ζινιάνῳ. Ἀντίγραφον τοῦ οὔπω ἐκδοθέντος πονήματος τούτου σώζεται ἐν τῇ τῆς Μόσχας βιβλιοθήκῃ ὑπ' ἀριθμὸν 208. 3) Λόγον περὶ ἀζύμων. Ἀντίγραφον τοῦ λόγου τούτου, οὗ μνείαν ποιεῖται ὁ Ἀλλάτιος contra Creyghton σελ. 430 καὶ 434, σώζεται ἐν τῇ αὐτῇ βιβλιοθήκῃ ὑπ' ἀριθὸν 150.

Βαρλαάμ μοναχός, Καλαβρός, ἤκμαζε περὶ τὸ ἔτος 1340, ἧκε δ' ἐξ Ἰταλίας εἰς τὸ Βυζάντιον ἐπὶ τῆς βασιλείας Ἀνδρονίκου τοῦ νέου. „Μοναχός τις, λέγει ὁ Καντακουζηνός, ὁρμώμενος ἐκ Καλαβρίας τοῖς Λατίνων ἤθεσι καὶ νόμοις ἐντραφείς, ὄνομα Βαρλαάμ, ἄλλως δὲ νοῆσαί τε ὀξὺς καὶ τὰ νοηθέντα ἐξηγήσασθαι ἱκανώτατος, καὶ τὰ Εὐκλείδου καὶ Ἀριστοτέλους καὶ Πλάτωνος ἐκμελετήσας καὶ διαβόητος περὶ ταῦτα ὤν, ἐπὶ κακῷ τῇ Ῥωμαίων ἐπεδήμησε βασιλείᾳ. Πολλῶν γὰρ ἐνέπλησε καὶ μεγάλων στάσεων εἰρήνην ἄγουσαν τὴν ἐκκλησίαν. Ὑποκρινάμενος γὰρ τὰ Λατίνων ἀποσείεσθαι, λόγους τε συνεγράφετο κατ' αὐτῶν καὶ ἀπεδείκνυε λογικῶς περὶ τὴν πίστιν σφαλλομένους, καὶ τοῖς ἡμετέροις ἔχαιρεν ἤθεσι καὶ νόμοις, καὶ ὅλως σαφεῖς ἐδόκει παρέχεσθαι τὰς ἀποδείξεις τοῦ κατεγνωκέναι

(α) Χειρόγρ, Μόσχας ὑπ' ἀριθ. 277.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ